# TEZAUR LITURGIC

## 5 DECEMBRIE

# PARACLISUL SOBORULUI SF.CUVIOŞI-MUCENICI DE LA KAREIA-ATHOS

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 5 ΔΕΚΕΜΒΡΙΟΥ
# ΤΩΝ ΚΑΡΕΩΤΩΝ ΟΣΙΑΘΛΩΝ ΟΜΟΛΟΓΗΤΩΝ ΠΑΤΕΡΩΝ ΤΩΝ ΕΠΙ ΒΕΚΚΟΥ ΜΑΡΤΥΡΗΣΑΝΤΩΝ
# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

*Εὐλογήσαντος τοῦ Ἱερέως ἀρχόμεθα τοῦ Κύριε εἰσάκουσον, μεθ᾽ ὅ ψάλλομεν τὸ Θεὸς Κύριος, καὶ εἶτα τὸ τροπάριον. Ἦχος δ΄. Ὁ Ὑψωθείς.*

Τοὺς ὁσιάθλους Καρεώτας Πατέρας, οἱ ἐν τῷ Ἄθω μονασταὶ καὶ μιγάδες, ἱκετικῶς τιμήσωμεν αἰτούμενοι, λήψεσθαι τὴν ἄφεσιν τῶν πταισμάτων καὶ χάριν, τοῦ Ἁγίου Πνεύματος ἐνδυθῆναι ἐνθέως, καὶ δοξασθῆναι οὕτω τὸν Θεόν, τὸν παρασχόντα αὐτοῖς θεῖον στέφανον.

*Δόξα, τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.*

Τῇ Θεοτόκῳ ἐκτενῶς...

Εἶτα ὁ Ν΄ καὶ εὐθὺς ὁ Παρακλητικὸς Κανών, οὗ ἡ ἀκροστιχίς· *Πρώτῳ τε συμμάρτυσιν ὁμολογηταῖς ᾄδω.*

*ᾨδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.*

Πολλὴν κεκτημένοι παρὰ Θεῷ, Πατέρες μου θεῖοι, παῤῥησίαν ἐκ τῶν σεπτῶν, ἱδρώτων αἱμάτων τε τὰς χεῖρας, ὑπὲρ ἡμῶν ἐκτενῶς Αὐτῷ ἄρατε.

Ῥευστῶν τὴν γεώδη παραφοράν, καὶ τῶν ἀθανάτων ἀγαθῶν τὴν διαμονήν, συγκρίναντες Ὅσιοι Πατέρες, εἰς Ὄρος Ἄθω Χριστῷ ἐδουλώθητε.

Ὠνήσασθε πλοῦτον τοῦ οὐρανοῦ, ζυγῷ τοὺς αὐχένας ὑποκλίναντες τοῖς ὑμῶν, πατράσι μιμούμενοι ἐν πᾶσι, τὸν ὑπὲρ οὗ τὰ φθαρτὰ κατελίπετε.

*Θεοτοκίον.*

Τρωθέντες τῷ θέλει τῷ γλυκερῷ, τοῦ σοῦ παμποθήτου Θεοτόκε Μῆτερ Υἱοῦ, Πατέρες προσῆλθον ὡς δορκάδες, ἐν τῷ σῷ κήπῳ καὶ κλήρῳ ἀσκήσασθαι.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψίδος*

Ὡραιώθη τοῦ Ἄθω τὸ ἁγιόλλεκτον σύνταγμα, ὅτε ὡς μετόχους Πατέρες ὑμᾶς ἐδέξατο, θεομακάριστοι, οὗπερ δεόμεθα πάντας, τεύξασθαι εὐχαῖς ὑμῶν τοὺς μακαρίζοντας.

Τὸ μαρτύριον ὄντως τῆς συνειδήσεως Ὅσιοι, εἴληφε προσέτι τὸ στέφος ἐκ τῆς ἀθλήσεως, ὑπὲρ τῆς πίστεως, παρὰ τῶν λατινοφρόνων, ὧν τῆς πλάνης ῥύσασθε ἡμᾶς πανάριστοι.

Ἐχαρίσθη οὐ μόνον ἡμῖν Πατέρες τὸ πείθεσθαι, ἀλλὰ καὶ τὸ πάσχειν Κυρίῳ τῷ προσκαλέσαντι, εἰς τὰ οὐράνια, ἔνθαπερ εὔξασθε φθάσαι, καὶ ἡμᾶς τοὺς μέλποντας ὑμῶν τὴν ἄθλησιν.

Σωτηρία οὐκ ἐστὶ ἐκτὸς τῆς Μάνδρας Θεόνυμφε, ἥνπερ σὸς Υἱὸς, θείῳ Αἵματι κατεπήξατο, καὶ ὅπερ ἧς

Ἁγνή, οἱ ἀθλοφόροι Πατέρες, ὥσπερ ἀλλὰ σφάγια ὡλοκαυτώθησαν.

Διάσωσον πληθὺς Ὁσίων Πατέρων, τὰ σὰ τέκνα ὑμνοῦντα προφρόνως, ἄθλησιν τὴν θείαν, ἐκ πάσης δεινῆς πλάνης.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος δ΄. Πρεσβεία θερμή.*

Ὡς τεῖχος στεῤῥὸν τῆς πίστεως κεκτήμεθα, καὶ πρέσβεις θερμοὺς Πατέρων θεῖον σύνταγμα, οὓς πρεσβεύειν Κυρίῳ δεόμεθα, δωρήσασθαι ἡμῖν ὀρθοδοξίας πλήρωμα.

*ᾨδὴ δ΄. Εἰσακήκοα, Κύριε.*

Ὕψη θεῖα σκηνώσαντες, διὸ μαρτυρίου Πατέρες Ἅγιοι, καὶ ἡμᾶς καθικετεύσατε, τῶν ῥεόντων τάχει ὑπεραίρεσθαι.

Μολυσμῷ τῆς αἱρέσεως, ὅλως κοινωνίαν μὴ ποιήσαντες, ὥσπερ δῶρον ἡμῖν ἄμωμον, τὴν ὀρθοδοξίαν εὐχαῖς δίδοσθε.

Μανιώδη ὁρμήματα, ἐπιπαφλαζούσης δυτικῆς πλανήσεως, ὡς ἀφρώδη κατασπάσαντες, ἔχετε Πατέρες νῦν τὸ ἄσυλον.

*Θεοτοκίον.*

Ἀληθῆ τέκνα Πάναγνε, οἱ Ὁσιομάρτυρες κατεστάθησαν, τοῦ Υἱού σου Ὃν ἱκέτευε, λυτρωθῆναι ἡμᾶς πάσης θλίψεως.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ῥείθροις τῶν ὑμῶν προχοῶν θεομακάριστοι, τὸν Χριστὸν ἐκδυσωπήσατε, δοθῆναι λύσιν, τῶν πολλῶν πλημμελημάτων μου.

Τεῖχος ἀῤῥαγὲς καὶ προπύργιον ὀρθόδοξον, ἀναδέδεικται θεόσοφοι, κατὰ Λατίνων, ἡ σεπτὴ ὑμῶν ἄθλησις.

Ὕδωρ τῆς Ζωῆς νῦν ἐκπίνοντες μακάριοι, τὸν διψασμόν μου καταπαύσατε, μικρὰν ῥανίδα, χορηγοῦντες ἵνα ἅλλωμαι.

*Θεοτοκίον.*

Σύ μου κραταιὰ σκέπη Μῆτερ Θεονύμφευτε, καὶ γλυκασμός μου παγχαρμόσυνος, ὡς τῶν Πατέρων, προϋπῆρξας Παναμώμητε.

*ᾨδὴ στ΄. Τὴν δέησιν ἐκχεῶ.*

Ἱκέτης ταπεινὸς προσέρχομαι τῷ κοινῷ ὑμῶν μνημείῳ Πατέρες, παρακαλῶν, ὅπως λάβω τὴν Χάριν, καὶ ἐν τῇ πέτρᾳ τῆς πίστεως ἵσταμαι, ἀκλόνητος ἐκ προσβολῶν, καινοδόξων ῥευμάτων αἱρέσεως.

Νικήσας νικηφόρον ἄθλησιν, πρῶτος ἔλαβες τῆς νίκης στεφάνους, ἀποπνιγείς, τῇ ἀγχόνη τρισμάκαρ,

ἵνα ἀέρος καινοῦ τύχης Ὅσιε, αὐτόν τε Πάτερ καὶ ἡμῖν, ταῖς εὐχαῖς σου παράσχου ὡς δώρημα.

Οὐδόλως πτοηθέντες Ὅσιοι, ἀπειλάς τε καὶ Βασάνους τιάρας, ῥωμαϊκῆς, εἰς αὐλὰς τοῦ Κυρίου, διὰ ποικίλων σκυλμῶν κατεπαύσατε, ἐν αἷς σκηνῶσαι καὶ ἡμᾶς, ἱκετεύσατε πάντες δεόμεθα.

*Θεοτοκίον.*

Μαρία Θεοτόκε καύχημα, μοναζόντων ἐν τῷ Ὄρει τοῦ Ἄθω, παρακαλῶ, σὺν πατράσιν Ὁσίοις, κατασκηνῶσαι ἡμᾶς καταξίωσον, ἐν Ὄρει ἄνω τοῦ Θεοῦ, Ὅπερ πόθῳ πολλῷ ἐκδεχόμεθα.

Διάσωσον, πληθὺς Ὁσίων Πατέρων, τὰ σὰ τέκνα ὑμνοῦντα προφρόνως, ἄθλησιν τὴν θείαν, ἐκ πάσης δεινῆς πλάνης.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ’ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Προστασία τῶν χριστιανῶν.*

Μελισσῶν τῶν Πατέρων ὁ Πάντιμος, οἱ Ὀρθόδοξον πίστιν συνομολογήσαντες, μὴ παρίδητε ἡμῶν ἱκέσιον φωνήν, ἀλλὰ δωρήσασθε πολὺν τῶν χαρισμάτων ὁρμαθὸν τοῖς ἐκ πόθου κραυγάζουσι· πάθη δεινὰ καὶ πλάνην, πόῤῥω ἡμῶν ποιεῖτε, οἱ τοῦ Κυρίου τὸν ζυγόν, ὁμολογία στέψαντες.

*Προκείμενον: Ὑπομενῶν ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι...*

*Στίχ: Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.*

*Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν (κεφ. ιβ΄, 8-12)*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· πᾶς ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ὁμολογήσει ἐν αὐτῷ ἔμπροσθεν τῶν ἀγγέλων τοῦ Θεοῦ. Ὁ δὲ ἀρνησάμενός με ἐνώπιον τῶν ἀνθρώπων ἀπαρνηθήσεται ἐνώπιον τῶν ἀγγέλων τοῦ Θεοῦ. Καὶ πᾶς ὃς ἐρεῖ λόγον εἰς τὸν Υἱὸν τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· τῷ δὲ εἰς τὸ Ἅγιον Πνεῦμα βλασφημήσαντι οὐκ ἀφεθήσεται. Ὅταν δὲ προσφέρωσιν ὑμᾶς ἐπὶ τὰς συναγωγὰς καὶ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, μὴ μεριμνᾶτε πῶς ἤ τὶ ὀπολογήσησθε, ἤ τὶ εἴπητε τὸ γὰρ Ἅγιον Πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ ἃ δεῖ εἰπεῖν.

*Δόξα Πατρί: Ταῖς τῶν Ὁσιάθλων...*

*Καὶ νῦν: Ταῖς τῆς Θεοτόκου...*

*Στίχ.: Ἐλεῆμον, ἐλέησον μὲ ὁ Θεός.*

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Ὅλην ἀποθέμενοι, τὴν κοσμικὴν δυσπραγίαν, νοῦν τε καὶ διάνοιαν, καὶ ζωὴν ἅπασαν ἐδουλώσατε, εἰς Χριστοῦ νόημα, Ὅσιοι Πατέρες, καὶ τὴν πίστιν τὴν ὀρθόδοξον, ὁμολογήσαντες, σὺν Κοσμᾷ Θεόφρονι οἱ μὲν ξίφεσι, ἕτεροι δὲ ἀγχόναις, πρὸς λιμένα ἄκλυστον

κατεπαύσατε· ὅθεν τοῦ Κυρίου, δωρήσασθε ἡμῖν θεοπρεπῶς, ὁδὸν πορεύεσθαι Ἅγιοι, τοὺς Ὑμᾶς γεραίροντας.

*ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Οἱ ἐκ πάσης πατρίδος, ἀθροισθέντες Πατέρες ἐν σκήτῃ τῶν Καρεῶν, ἀθλήσαντες προθύμως, νῦν ἄνω συνοικεῖτε, τῷ Κυρίῳ συμψάλλοντες· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Λίθος κράζει ἀγλώττως, καὶ κηρύττει ἀφώνως Πατέρες Ὅσιοι, ὑμῶν ὁμολογίαν, ἣν διὰ ψευδαδέλφων, ἐποιήσατε κράζοντες· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Οἱ ἀγχόνῃ Κυρίου, Βασιλείας γενόμενοι νῦν συμμέτοχοι, πρεσβεύσατε ἐνθέως, ὑπὲρ τῶν μελωδούντων ἐκ καρδίας θεόσοφοι· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

*Θεοτοκίον.*

Γῆ Παρθένε ἐβάφη, περιβόλου Ναοῦ Σου τοῖς θείοις αἵμασιν, τῶν σοι προσπεφευγότων, καὶ πόθῳ τὸν Υἱόν Σου ἀνυμνούντων Πανάμωμε· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

*ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Ὑμεῖς Πατέρες, εὐχὰς Ὑμῶν κεκτημένοι, τῷ Κυρίῳ προσπίπτομεν ὑμνοῦντες, καὶ ὑπερυψοῦντες Αὐτὸν εἰς τοὺς αἰῶνας.

Τὴν κληρουχίαν, τὴν νυνὶ ἀσκουμένην, ἐν τῷ Ὄρει τοῦ Ἄθωνος Πατέρες, σύσκηνον ποιεῖτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἅγιον Πνεῦμα, ὑπὲρ Οὗ οἱ Πατέρες, ἕκοντι ἀνηνέχθησαν θυσία, σκήνου ἡμῖν σκήνου, εἰς πάντας τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Ἱερωμένους, σὺν μονάζουσι δέχου, Παναγία πρεσβεύοντας ἀπαύστως, τῷ Υἱῷ Σου ὅπως, ζήσωμεν εἰς αἰῶνας.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Στηρίξατε Πατέρες, εἰς Ὀρθοδοξίαν, τὰ ἐκβλαστήματα Ὄρους τοῦ Ἄθωνος, καὶ μιμητὸς ἡμᾶς δείξατε ἐν ταῖς πράξεσιν.

Ἀνοίξατε τὰς πύλας, τῆς ἐπουρανίου σκηνῆς ἡμῖν ὥσπερ ταύτης συμμέτοχοι, ἀθλοστεφεὶς Καρεῶται Ὁσιομάρτυρες.

Δοξάσαντες Τριάδα, τῇ ὁμολογίᾳ, ταῖς πατρικαῖς παραδόσεσι μείναντες, εἰς ἃς καὶ ἵστασθαι πάντας, Αὐτῇ πρεσβεύσατε.

*Θεοτοκίον.*

Μῆτερ Θεοτόκε, ἡ Καθηγουμένη, Ἁγίου Ὄρους ἡμᾶς καταξίωσον, σὺν Ὁσιάθλοις σκηνῶσαι εἰς θεία δώματα,

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ

Μητέρα τοῦ Θεοῦ ἡμῶν τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, Σὲ μεγαλύνομεν.

Χαίροις Ὄρος Ἄθω πανευκλεῶς, ἐξαιρέτως χαῖρε, σὺ ἡ Λαύρα τῶν Καρεῶν, ἔχουσα ἐν κόλποις λείψανα τῶν σῶν τέκνων, ἅπερ καταφιλοῦσα, Θεόν σου δόξαζε.

Τῆς Ὀρθοδοξίας τοὺς ὁδηγούς, καὶ τῶν μοναζόντων λύχνους θείους καὶ φωταυγεῖς, τοὺς ἐπὶ τοῦ Βέκκου ἀθλήσαντας Πατέρας, ἡμεῖς τὰ τούτων τέκνα, ὕμνοις δοξάζομεν.

Χαῖρε Πρῶτε Λαύρας τῶν Καρύων, Κοσμᾶ θεοφόρε, ὥσπερ ὄρχαμος κραταιός, πρῶτος ἐναθλήσας ὑπὲρ Ὀρθοδοξίας, διὸ καὶ πρῶτος εἴληφας στέφος ἄφθαρτον.

Χαίρετε Πατέρες πύργοι στεῤῥοί, πίστεως ἁγίας, θεολόγοι οἱ πρακτικοί, οἱ τὸ θεῖον δόγμα κηρύξαντες γενναίως, καὶ ὑπὲρ τούτου πάντες συμμαρτυρήσαντες.

Ἔχεις τοῦ Πρωτάτου θεῖος Ναός, σὺν τῇ Θεοτόκῳ ἐγκαυχήματα ἀγλαά, τοὺς σεπτοὺς Πατέρας τοὺς αἵμασι θεμέθλους, ποτίσαντάς σου οὕσπερ, νῦν χαίρων ξένιζε.

Ἡ τῶν Ἀνωνύμων πλειὰς σεπτή, Ὁσίων Πατέρων, ἡ γνωστὴ δὲ πάντως Θεῷ, οἱ αἵματα δόντες τοῖς ξίφεσι κοπέντες, ἡμῶν ποικίλα πάθη, πρόῤῥιζα τέμνετε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν.

*Τὰ τροπάρια: Ἐλέησον ἡμᾶς...*

*Δόξα: Κύριε ἐλέησον ἡμᾶς.*

*Καὶ νῦν: Τῆς Εὐσπλαγχνίας...*

*Ὁ Ἱερεὺς: Ἐλέησον ἡμᾶς ὁ Θεός...*

*Εἰς δὲ τὴν ἀπόλυσιν ψάλλομεν τὸ τροπάριον. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε.*

Δεῦτε μετὰ πόθου καὶ χαρᾶς, ὕμνοις εὐφημήσωμεν Πρῶτον τῶν Καρεῶν καὶ κλεινούς, στεφηφόρους Μάρτυρας τοὺς συναθλήσαντας, ὑπὲρ πίστεως οὗτοι γάρ, γενναίως τὴν πλάνην, δυτικῆς σκοτώσεως συνεξελέγξαντες, νῦν δὲ τὸν Χριστὸν ἐξαιτοῦνται, ἄφεσιν ἡμῖν τῶν πταισμάτων, κλῆρον Βασιλείας τε αἰώνιον.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σοῦ, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου είς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ φύλαξον μὲ ὑπὸ τὴν σκέπην Σου.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους Σου, φύλαττε εὐλογημένη Θεοτόκε, ἵνα Σὲ δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.